πρὸς θερμὴν ὑπακοὴν
τῶν ἐντολῶν τοῦ κτίστου σου
καὶ ζωῆς ὁδὸς ὤφθης, δέσποινα.

### Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Θυσίαν ἀνήνεγκας
ὅλον σαυτὸν εὐπρόσδεκτον
τῷ ὑπὲρ ἡμῶν Θεῷ τυθέντι,
ναὸν κοσμήσας θεῖον τὸ σῶμά σου
καὶ θυσιαστήριον σεπτὸν
τὴν ἁγνὴν καρδίαν σου,
ὡς δὲ θῦμα λαμπρὸν τὴν ψυχήν.
Ἐξέφυγες ἄριστα
τοῦ βίου τὸ κλυδώνιον,
πάντα νουνεχῶς, μάκαρ, ἐκρίψας,
ἵνα κερδήσῃς μόνον πολύτιμον
ἕνα μαργαρίτην, τὸν Χριστόν,
καὶ τὴν θείαν ἔλλαμψιν
θησαυρίσῃς καὶ γνῶσιν Θεοῦ.
Μικρὰ καὶ οὐκ ἄξια
τοῦ νῦν καιροῦ παθήματα
πρὸς τὴν ἀποκαλυφθησομένην
λαμπρὰν καὶ θείαν δόξαν τὴν ἄληκτον
κρίνων, πειρασμοὺς πάντας στερρῶς
καὶ γενναίως ἔφερες
μετὰ Παύλου, μακάριε.
Ἰσχὺν ἀπροσμάχητον
καὶ δύναμίν σοι δέδωκεν
ὁ μόνος δυνάστης καὶ δεσπότης
ὥσπερ διόλου κατὰ τοῦ ὄφεως,
οὕτως ἐπὶ τέλει πρὸς δεινὴν
σύγχυσιν τῆς πίστεως
καὶ δογμάτων παράβασιν: +

### Θεοτοκίον.

Σεμνότης ἐκλείπουσα,
σεμνὴ παρθένε πάναγνε,
τῆς σεμνῆς υἱοῦ σου Θεοῦ νύμφης

---

7. τιθέντι A
18. καὶ sup lin. A.
36. υἱοῦ sup. lin. A